ὠνόμασε, τὴν δὲ πρόσθεν Ἀντιγόνην ἐγώ.
μαθὼν δὲ τἀμὰ λέκτρα μητρῴων γάμων
ὁ πάντ᾽ ἀνατλὰς Οἰδίπους παθήματα
εἰς ὄμμαθ᾽ αὑτοῦ δεινὸν ἐμβάλλει φόνον,
χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας.
ἐπεὶ δὲ τέκνων γένυς ἐμῶν σκιάζεται,
κλῄθροις ἔκρυψαν πατέρ᾽, ἵν᾽ ἀμνήμων τύχη
γένοιτο πολλῶν δεομένη σοφισμάτων.
ζῶν δ᾽ ἔστ᾽ ἐν οἴκοις. πρὸς δὲ τῆς τύχης νοσῶν
ἀρὰς ἀρᾶται παισὶν ἀνοσιωτάτας,
θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.
τὼ δ᾽ εἰς φόβον πεσόντε, μὴ τελεσφόρους
εὐχὰς θεοὶ κραίνωσιν οἰκούντων ὁμοῦ,
ξυμβάντ᾽ ἔταξαν τὸν νεώτερον πάρος
φεύγειν ἑκόντα τήνδε Πολυνείκην χθόνα,
Ἐτεοκλέα δὲ σκῆπτρ᾽ ἔχειν μένοντα γῆς
ἐνιαυτὸν ἀλλάσσοντ᾽. ἐπεὶ δ᾽ ἐπὶ ζυγοῖς
καθέζετ᾽ ἀρχῆς, οὐ μεθίσταται θρόνων,
φυγάδα δ᾽ ἀπωθεῖ τῆσδε Πολυνείκην χθονός.
ὃ δ᾽ Ἄργος ἐλθών, κῆδος Ἀδράστου λαβών,
πολλὴν ἀθροίσας ἀσπίδ᾽ Ἀργείων ἄγει·
ἐπ᾽ αὐτὰ δ᾽ ἐλθὼν ἑπτάπυλα τείχη τάδε,
πατρῷ᾽ ἀπαιτεῖ σκῆπτρα καὶ μέρη χθονός.
ἐγὼ δ᾽ ἔριν λύουσ᾽ ὑπόσπονδον μολεῖν
ἔπεισα παιδὶ παῖδα πρὶν ψαῦσαι δορός.
ἥξειν δ᾽ ὁ πεμφθείς φησιν αὐτὸν ἄγγελος.
ἀλλ᾽, ὦ φαεννὰς οὐρανοῦ ναίων πτυχὰς
Ζεῦ, σῶσον ἡμᾶς, δὸς δὲ σύμβασιν τέκνοις.
χρὴ δ᾽, εἰ σοφὸς πέφυκας, οὐκ ἐᾶν βροτὸν
τὸν αὐτὸν ἀεὶ δυστυχῆ καθεστάναι.

*ΠΑΙ.* ὦ κλεινὸν οἴκοις Ἀντιγόνη θάλος πατρί,
ἐπεί σε μήτηρ παρθενῶνας ἐκλιπεῖν
μεθῆκε μελάθρων ἐς διῆρες ἔσχατον
στράτευμ᾽ ἰδεῖν Ἀργεῖον ἱκεσίαισι σαῖς,

---

70. ὀργάς B 74. ζυγῷ C